# ΥΠΟΘΕΣΙΣ.

Ὑπόκειται ὧδε· τροφεὺς δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει. Μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί.

## ΑΛΛΩΣ.

Τροφεύς ἐστιν ὁ προλογίζων πρεσβύτης παιδαγωγὸς ὁ ὑποκείμενος καὶ ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς Στρόφιον καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. Μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγεν, καὶ διὰ εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτοῦ δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. Ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. Προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

## ΥΠΟΘΕΣΙΣ ΔΙΑ ΣΤΙΧΩΝ.

Ἐλθὼν Ὀρέστης εἰς πόλιν Μυκηνίδα
σὺν τῷ τροφεῖ γέροντι καὶ τῷ Πυλάδῃ
κτείνει τὸν αὐτόχειρα πατρῴου φόνου
καὶ τὴν συνεργὸν τῆς σφαγῆς τοῦ συμβίου.

Ἡ τοῦ δράματος ὑπόθεσις τοιαύτην ἔχει τὴν ἔννοιαν. Ἡ Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα ἄνδρα ἔχουσα ἠράσθη τοῦ Αἰγίσθου. Ἠλέκτρα δὲ τῆσδε οὖσα θυγάτηρ καὶ τὸν Ὀρέστην ἀδελφὸν ἔχουσα νηπιάζοντα ἔτι λάθρα τοῦτον ἐξαπέστειλεν εἴς τινα φίλον τὸν καὶ Πυλάδην καλούμενον, διὰ τὸ μὴ ὑπὸ μοιχοῦ τῆς αὐτῆς μητρὸς φονευθῆναι τοῦ καὶ πατέρα κτανόντος. Φωκὶς δὲ ἡ χώρα ἣν ὁ Πυλάδης κατῴκει. Ζήλῳ τοίνυν ἀγαθῷ ὁρμηθεὶς ὁ Πυλάδης τοιοῦτόν τι ἐτέκταινε βούλευμα διὰ τὸ ὑπὸ τῶν μηνυμάτων τῆς Ἠλέκτρας ἀγανακτεῖν. Λείψανόν τινος νεκροῦ ἐν κιβωτίῳ βαλὼν ἔστειλε ταῦτα δῆθεν